τῶν πατέρων αὐτοῦ καὶ ἐτάφη παρὰ τοῖς πατράσιν αὐτοῦ ἐν πό-
λει Δαυιδ τοῦ πατρὸς αὐτοῦ· καὶ ἐβασίλευσεν Ιωραμ υἱὸς αὐτοῦ
ἀντ᾽ αὐτοῦ.
[52]Καὶ Οχοζιας υἱὸς Αχααβ ἐβασίλευσεν ἐπὶ Ισραηλ ἐν Σαμαρείᾳ 52
ἐν ἔτει ἑπτακαιδεκάτῳ Ιωσαφατ βασιλεῖ Ιουδα· καὶ ἐβασίλευσεν
ἐν Ισραηλ ἔτη δύο. [53]καὶ ἐποίησεν τὸ πονηρὸν ἐναντίον κυρίου 53
καὶ ἐπορεύθη ἐν ὁδῷ Αχααβ τοῦ πατρὸς αὐτοῦ καὶ ἐν ὁδῷ Ιεζαβελ
τῆς μητρὸς αὐτοῦ καὶ ἐν ταῖς ἁμαρτίαις οἴκου Ιεροβοαμ υἱοῦ Να-
βατ, ὃς ἐξήμαρτεν τὸν Ισραηλ. [54]καὶ ἐδούλευσεν τοῖς Βααλιμ καὶ 54
προσεκύνησεν αὐτοῖς καὶ παρώργισεν τὸν κύριον θεὸν Ισραηλ κα-
τὰ πάντα τὰ γενόμενα ἔμπροσθεν αὐτοῦ.

δουλοι μου(A† σου) μετα των δουλων σου(A† μου) και(sic) ταις ναυσιν· και ουκ ηθελησεν ιωσαφατ || 51 ιωσαφατ et παρα τ. πατρ. αυτου > B† || 52 βασιλει] -λεως A | ετη δυο] tr. A || 53 εναντ.] ενωπιον *AL* | αχααβ / του πατρ. αυτου] tr. B†, αχααβ in *O* sub ÷, του πατρ. αυτου > *L*† | οικου] > *AL*†, in Sy sub ÷ || 54 fin.] *BL*† addunt initium libri sequentis, B† usque ad IV 1 1 fin., *L*† usque ad IV 1 2 ηρρωστησεν, cf. I 31 13

Subscr. βασιλειων γʹ $BAL^{127}$, nulla subscr. est in $L^{-127}$, cf. Regn. I subscr.

## ΒΑΣΙΛΕΙΩΝ Δʹ

[1]Καὶ ἠθέτησεν Μωαβ ἐν Ισραηλ μετὰ τὸ ἀποθανεῖν Αχααβ. [2]καὶ 1
ἔπεσεν Οχοζιας διὰ τοῦ δικτυωτοῦ τοῦ ἐν τῷ ὑπερῴῳ αὐτοῦ τῷ
ἐν Σαμαρείᾳ καὶ ἠρρώστησεν. καὶ ἀπέστειλεν ἀγγέλους καὶ εἶπεν
πρὸς αὐτούς Δεῦτε καὶ ἐπιζητήσατε ἐν τῇ Βααλ μυῖαν θεὸν Ακ-
καρων εἰ ζήσομαι ἐκ τῆς ἀρρωστίας μου ταύτης· καὶ ἐπορεύθη-
σαν ἐπερωτῆσαι δι᾽ αὐτοῦ. [3]καὶ ἄγγελος κυρίου ἐλάλησεν πρὸς 3
Ηλιου τὸν Θεσβίτην λέγων Ἀναστὰς δεῦρο εἰς συνάντησιν τῶν
ἀγγέλων Οχοζιου βασιλέως Σαμαρείας καὶ λαλήσεις πρὸς αὐτούς
Εἰ παρὰ τὸ μὴ εἶναι θεὸν ἐν Ισραηλ ὑμεῖς πορεύεσθε ἐπιζητῆσαι
ἐν τῇ Βααλ μυῖαν θεὸν Ακκαρων; [4]καὶ οὐχ οὕτως· ὅτι τάδε λέγει 4
κύριος Ἡ κλίνη, ἐφ᾽ ἧς ἀνέβης ἐκεῖ, οὐ καταβήσῃ ἀπ᾽ αὐτῆς, ὅτι
ἐκεῖ θανάτῳ ἀποθανῇ. καὶ ἐπορεύθη Ηλιου καὶ εἶπεν πρὸς αὐτούς.
[5]καὶ ἐπεστράφησαν οἱ ἄγγελοι πρὸς αὐτόν, καὶ εἶπεν πρὸς αὐτούς 5

Regn. IV: B; *O* = A Sy(Arm) et multis locis 121 247; *L* = 19 93 108 700 et plerumque 82 127; cf. Regn. III.

1 2 τω 2⁰ B Sy†] του A | επιζητησατε] επερωτησ. *OL*†: cf. 16 | τη βααλ A†: item mu. in 3, BA in 6. 16, sed τω β. B in 2. 3, A in 3, pl. in 6. 16 | αυτου ult.] -των *O*† || 3 ελαλησεν προς V] εκαλεσεν BA | αναστας δευρο] αναστηθι και πορευθητι *O*(†) || 4 κλινη] + σου A† | εκει 2⁰] > B, in *O* sub ÷; εν αυτη *L*†